www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ ΤΗΣ ΚΡΟΣΤΑΝΔΗΣ

(οὗ ἡ μνήμη τῇ κ΄ Δεκεμβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1993 *

# Τῇ Κ΄ Δεκεμβρίου μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τῆς Κροστάνδης

## ΕΝ ΤΩ͂ ΕΣΠΕΡΙΝΩ͂

*Ἱστῶμεν στίχ.στ΄ καὶ ψάλλομεν
πρῶτον τὰ ἐν τῷ Μηναίῳ τρία προεόρτια ἰδιόμελα
καὶ εἶτα τὰ ἀκόλουθα στιχηρὰ προσόμοια,
τῆς ἀκολουθίας τοῦ ἁγίου Ἰγνατίου τοῦ Θεοφόρου μετατιθεμένης.*

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν χριστοφόρον ποιμένα,
Κροστάνδης σήμερον,
τὸν θεῖον Ἰωάννην,
ἱερέων τὸ κλέος,
τιμήσωμεν ἐν ὕμνοις ὡς θαυμαστῶς,
ἐν τῷ κόσμῳ βιώσαντα,
Εὐαγγελίου Κυρίου τὰς ἐντολάς,
ἐν ἀγάπῃ καὶ πληρότητι.

Ἀκολουθῶν τοῦ Δεσπότου,
τῷ παραδείγματι,
ψυχὴν ὑπὲρ ποιμνίου,
θεῖε Πάτερ παρέθου,
γενόμενος πενήτων προνοητής,
ἀσθενῶν συναντίληψις,
λύων παθῶν καὶ τῶν νόσων τὸ δυσαχθές,
Ἰωάννη ταῖς πρεσβείαις σου.

Ἔχων ἀεί που τρισμάκαρ,

τὴν παρουσίαν Χριστοῦ,
ἐνώπιόν σου ηὔχου,
ἐν καρδίᾳ ζεούσῃ,
τρεφόμενος θυσίᾳ τῇ μυστικῇ,
ἧς ἐφάνης πανάριστος,
μυσταγωγὸς καὶ θαυμάτων ἐνεργητής,
Ἰωάννη χαριτώνυμε.

Δόξα. Ἦχος πλ.δ'.

Ὤ! βάθος πλούτου καὶ σοφίας τοῦ Φιλανθρώπου Δεσπότου,
τοῦ ἀπὸ γῆς ἀνυψοῦντος πένητας,
καὶ ἀπὸ ἀσθενῶν δυνατοὺς τοῦ λαοῦ μεταποιοῦντοσπ
ὅτι ἀπὸ πτωχῶν τῷ κόσμῳ,
μέγιστον πλοῦτον ἐχαρίσατο τῇ Ἐκκλησίᾳ,
τὸν ἀγγελόβιον λευΐτην Ἰωάννην τῆς Κροστάνδης.
Ὅπως ἐνδείξηται τὴν εὐλογίαν
τὴν ἐκχεομένην τοῖς ταπεινοῖς τὴν καρδίαν,
καὶ ὁλοθύμως ἀγαπῶσι τὸ θέλημα Αὐτοῦ.
Ὅθεν τὴν ἱερὰν μνήμην τοῦ Ἁγίου τελοῦντες,
εὐλαβῶς βοήσωμεν·
πρέσβευε, τοῦ κόσμου παντὸς ἰσχυρότατε εὐχέτα,
ὁδηγῶν ἡμᾶς εἰς τὰς ὁδοὺς τὰς σωτηρίους τοῦ Κυρίου,
Ὅν ἀγαπήσας ὑπερβαλλόντως διηκόνησας καλῶς,
ὡς οἰκονόμος πιστότατος.
Καὶ νῦν.Τὸ προεόρτιον.

Εἴσοδος. Φῶς Ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ ἀναγνώσματα τῆς στ' τοῦ παρόντος μηνός (τοῦ ἁγίου Νικολάου).

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'.

Εὐφραίνου χαρμοσύνως τῶν ἱερέων ὁ χριστώνυμος κλῆρος,
ἐπὶ τῇ μνήμῃ τοῦ ἡγιασμένου Ἰωάννου,
τοῦ σεραφεικοῦ σου συλλειτουργοῦ.
Οὗτος γὰρ ὁ τρισμακάριστος ὑπερετίμησε τῆς κλήσεως τὸ χάρισμα, ἀναπαυτήριον γενόμενος τοῦ Παρακλήτου·
καὶ τὴν ρωσσικὴν γῆν διδασκαλίαις καὶ θαύμασι καταπληρώσας,
τῆς Ὀρθοδόξου Ἐκκλησίας πρεσβευτὴς καὶ ὁδηγὸς ἐγένετο.
Οὗ ταῖς εὐχαῖς ὁ Κύριος σῶσαι ἡμᾶς ὡς φιλάνθρωπος.

Ἦχος β'.

Τῶν φθειρομένων τὴν γνῶσιν,
ὡς ἀλυσιτελῆ σοι ὁ Κύριος τὸ πρῶτον οὐκ ἔδωκε,
προοιμιάζων τὴν ἐκ θείου Πνεύματος θαυμαστήν σου ἐπιφοίτησιν,
δι᾽ ἧς γνοὺς τὸ βάθος καὶ ὕψος,
τὸ πλάτος τε καὶ μῆκος τῆς αἰωνίας ἐν Χριστ÷ˇῷ ζωῆς,
ὅλῃ ψυχῇ καὶ καρδίᾳ τὰ ἄνω ἐζήτησας, τὰ ἄνω καὶ εὗρες.
Ἐν εὐχαῖς ὑπερθαύμαστος,
ἐν φιλανθρωπίᾳ χριστομίμητος,
ἐν ἱερουργίαις ἀγγελότροπος καὶ ἐν διδασκαλίαις χρυσολόγος.

Πρέσβευε Πάτερ μακάριε καὶ ὑπὲρ ἡμῶν,
τῶν τελούντων σου τὴν μνήμην τὴν πάνσεπτον.

Ἦχος γ'.

Δεῦτε ἀδελφοὶ φιλάγιοι,
πόθῳ ἀνυμνήσωμεν θεῖον Ἰωάννην,
φλόγα θείου Πνεύματος καὶ ζῆλον Χριστοῦ ἀγάπης,
ἐξ αὐτοῦ ταῖς ψυχαῖς προσποριζόμενοι.
Ὡς διδασκάλῳ δὲ προσερχόμενοι ἀκούσωμεν αὐτοῦ κηρύττοντος·
ὅτι μηκέτι ζῶμεν κατὰ κόσμον,
ἀλλὰ προσλαβόντες νοῦν Χριστοῦ,
ἀποστολικῶς βιώσωμεν·
ὅτι σκιὰ ζωῆς καὶ ἐρεβώδης θάνατος,
ἡ χωρὶς Τούτου διαγωγὴ ὑπάρχει.
Ὅθεν ἐν εἰλικρινείᾳ καρδίας πολιτευσάμενοι,
ζήσομεν αἰωνίως ἐν τῷ φωτὶ τοῦ θείου κάλλους Αὐτοῦ.

Ἦχος δ'.

Τοῦ νοητοῦ Ἡλίου κάτοπτρον γενόμενος,
Ἰωάννη ἁγιώτατε,
ὅλος ἀνεδείχθης ὀφθαλμὸς χερουβικός,
τὰ θεῖα δικαιώματα κατανοῶν ἐν πληρότητι,
καὶ τὴν θερμαντικὴν ἀκτῖνα τῆς ἀγάπης
ἐπιστέλλων πᾶσι τοῖς πνευματικῶς πάσχουσι.
Διὸ καὶ ἡμεῖς σε μακαρίζοντες δεόμεθα χριστόληπτε·
χάρισαι πρεσβείαις σου ταῖς καρδίαις καθαρότητα,
πρὸς αἴσθησιν χαρμονικὴν τῆς παρουσίας
τοῦ γλυκασμοῦ τῶν πιστῶν καὶ μετοχὴν ἀείζωον
τῶν φωτοειδῶν ἐνεργειῶν τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α'.
Τῇ ζωηφόρῳ νεκρώσει τῶν κοσμικῶν φρονημάτων,
τῷ κυριακῷ σταυρῷ πᾶσάν σου αἴσθησιν προσήλωσας,
Ἰωάννη ποιμὴν τῆς Κροστάνδης.
Καὶ ὡς κρατῆρα μυστικὸν τὴν καρδίαν σου μετασκευάσας,
ἐπλήρους τὴν ὕπαρξίν σου
τῇ μετοχῇ τῶν παναχράντων ἁγιασμάτων.
Ὅθεν κλιμακηδὸν ἀνῆλθες εἰς τὰς θείας ἀποθήκας τῶν χαρισμάτων,
ἐξ ὧν ὡς ἄλλος σιτοδότης Ἰωσήφ
τὸν λαὸν τοῦ Θεοῦ ἀνακαινιστικῶς ἐζωογόνησας.
Διό, θεράπον γνήσιε Κυρίου,
μὴ παρίδῃς καρδίας Τοῦτον ἀεὶ πεινώσας,
ἀλλ᾽ ἔμπλησον σῇ μεσιτείᾳ,
ὅπως δοξάζωμεν τὴν μνήμην σου.

Καὶ νῦν. Προεόρτιον.

**ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ**

Τὰ ἐν τῷ Μηναίῳ προεόρτια τῶν Χριστουγέννων καὶ εἶτα

Δόξα. Ἦχος β'.

Ἡδίστη γλῶσσα Ἁγίῳ Ἁγίου ἔπαινος.
Ὅθεν σε Πάτερ Ἰωάννη,
Σιλουανοῦ τοῦ πανθαυμάστου,
ὅν περ ταῖς πυριπνόοις σου εὐχαῖς τῷ Ἄθωνι ἐχαρίσω,
τοῖς θείοις ῥήμασι μακαρίζομεν·
ὢπ ὁ ποιμὴν ὁ καλός, ὁ γῆθεν ὑψωθεὶς ὡς ἀετὸς θεοπετὴς

ταῖς πνοαῖς τοῦ ῾Αγίου Πνεύματος,
καὶ ὑψόθεν θεωρῶν τὰς τοῦ λαοῦ ἐξ ἀναγκῶν δεήσεις,
εἰ καὶ τῷ σώματι τέθνηκας,
ὅμως πάρει μεθ᾽ ἡμῶν ἐκ τοῦ Δεσποτικοῦ θρόνου
ἐνισχύων τὰ τέκνα σου.
Πρέσβευε ᾽Ιωάννη ἀκαταίσχυντε καὶ φιλάνθρωπε χριστευχέτα,
ὅπως ἐν μετανοίᾳ ἀγαπήσωμεν τὸν Κύριον.

Καὶ νῦν. Τὸ ἐκ τοῦ Μηναίου προεόρτιον.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.
᾽Απολυτίκια, πρῶτον τὸ Προεόρτιον. Δόξα τοῦ ῾Αγίου τὸ παρόν
῏Ηχος α'. Τῆς ἐρήμου πολίτης.

῾Ιερέων ἐδείχθης ᾽Ιωάννη ὑπόδειγμα, πᾶσαν τὴν ῾Ρωσσίαν πληρώσας, διδαχαῖς ζωηφόροις σου· ἀνέπνεις γὰρ καθ᾽ ὥραν τὸν Χριστόν, Αὐτοῦ τὰς ἐντολὰς ἀεὶ τηρῶν· καὶ θαυμάτων ἐπλουτίσθης ἐπιῤῥοαῖς, φιλάνθρωπον ἔχων γνώμην. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ θαυμαστώσαντι, καὶ τῆς Κρονστάνδης φλογερόν, σὲ θύτην ἀναδείξαντι.

Καὶ νῦν, αὖθις τὸ προεόρτιον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'στιχολογίαν.
Κάθισμα. ῏Ηχος α'. Τὸν Τάφον σου Σωτὴρ.

Τὸ κάλλος ἐνορῶν,
τὸ ἐν κτίσει παμμάκαρ,
μελέτην εἶχες σήν,
τὴν αἰώνιον δόξαν,
καὶ πλοῦτον ὡραιότητος,
Παραδείσου πιστούμενος,
ὅθεν ἅπαντας,
χριστοειδῶς παρεκίνεις,
ὅπως βλέπωσιν,
ἐν ἑαυτοῖς τὴν εἰκόνα,
Θεοῦ τοῦ ποιήσαντος.

*Καὶ τὸ προεόρτιον τοῦ μηναίου.*

Μετὰ τὴν β' στιχολογίαν.
Κάθισμα. Ἦχος α'. Τὸν Τάφον σου Σωτήρ.

Τό χάρισμα λαβών,
ἱερέων τρισμάκαρ,
ὡς ἄγγελος πυρός,
τὴν θυσίαν ἐτέλεις,
Χριστοῦ τοῦ Δεσπότου σου,
Ὧι ὡς θύματα τέλεια,
τέχνῃ ἤγαγες,
ποιμαντικῇ Ἰωάννη,
πλήθη ἄπειρα,
τὴν ἐντολὴν τῆς ἀγάπης,
πληρῶν τὴν δυόστοχον.

*Καὶ τὸ ἐν τῷ μηναίῳ προεόρτιον.*

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἀνακαινίσας σου,
πᾶσαν τὴν ὕπαρξιν,
τῷ θείῳ Πνεύματι,
πῦρ ὅλος γέγονας,
καὶ διηκόνησας ψυχάς,
ὡς ἄλλος τις Σαμαρείτης,
λόγοις δὲ ἐπλούτισας,
Ἐκκλησίαν Ὀρθόδοξον,
ὅθεν εὐγνωμόνως σοι,
Ἰωάννη μακάριε,
βοῶμεν μὴ ἐλλείπῃς πρεσβεύειν,
ὅπως Χριστῷ εὐαρεστήσωμεν.

*Καὶ τὸ τοῦ μηναίου προεόρτιον.*

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Οἱ ἱερεῖς σου, Κύριε ἐνδύσονται δικαιοσύνην......
Στίχ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*
Εὐαγγέλιον· τὸ τοῦ Ὄρθρου τῆς ιγ' Νοεμβρίου.
Ὁ Ν', Ἐλέησόν με...
Δόξα. Ταῖς τοῦ σοῦ Ἁγίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός....*

καὶ τὸ Ἰδιόμελον

Ἦχος πλ. β'.

Τὴν ἁλουργίδα τῆς Χάριτος ἐνδυθείς,
Ἰωάννη θεομακάριστε,
ἐκτύπωμα γνήσιον τοῦ Φιλανθρώπου Δεσπότου
τῇ Ἐκκλησίᾳ ἐδείχθης·
εἰς πᾶσαν γὰρ τὴν οἰκουμένην ἐξῄχηται
τῆς πνευματορρύτου διδαχῆς σου ὁ φθόγγος,
ἐξ ἧς ποτιζόμενοι μεγαλύνομεν τὸν δοξάσαντά σε Κύριον,
Κροστάνδης τὸ καύχημα.

Σῶσον ὁ Θεός...καὶ οἱ Κανόνες.

*Πρῶτον ὁ προεόρτιος καὶ εἶτα ὁ παρὼν τοῦ Ἁγίου,*
*-ἄνευ τῶν Τριαδικῶν καὶ Θεοτοκίων,*
*ληφθέντων ἐκ τοῦ μηναίου- οὗ ἡ ἀκροστιχίς:*

*"Κροστάνδης θεοφίλητον ὑμνῶ ποιμένα. Ἀ(θανάσιος)".*

Ἦχος α' Ὠδὴ α' Ὠδὴν ἐπινίκιον.

Κροστάνδης πανάριστον,
πιστοὶ ποιμένα,
τιμήσωμεν ᾄσμασι
καὶ φαιδρῶς δοξάσωμεν,
τὸν Λυτρωτὴν καὶ Θεόν,
τὸν χαρισάμενον ἡμῖν,
λαμπρὸν ὑπόδειγμα.

Ῥωσίας μὲν πέφυκας,
βλαστὸς παμμάκαρ,

ἀλλὰ ἐξελήλυθε
γῆς εἰς πάντα πέρατα,
ὁ φθόγγος λόγων τῶν σῶν,
δι᾿ ὧν δροσίζεις μυστικῶς,
πιστῶν τὰ πρόσωπα.
Ὁ νόμος τῆς φύσεως,
παύεται ἔνθα,
τοῦ Πνεύματος ἔπνευσεν,
αὔρα ἡ θεόῤῥυτος,
ὡς βεβαιοῖ παναληθῶς,
ἡ βιοτή σου θαυμαστέ,
ποιμὴν ἰσάγγελε.

Σημεῖον θεόσταλτον,
Πάτερ ἐφάνης,
διδάσκων τῷ τρόπῳ σου καὶ τῇ πολιτείᾳ σου,
ἀνακαινίζων σοφῶς,
τὴν ἐν Χριστῷ διαγωγήν,
τῶν ἀκουόντων σου.

Δόξα. Τριαδικόν, ἐκ τοῦ μηναίου.

Τριὰς ὑπερούσιε,
μία θεότης,
μονὰς τρισυπόστατε,
τοὺς πιστοὺς βοῶντάς σοι·
Ἅγιος, ἅγιος, ἅγιος εἶ Δημιουργέ,
σῶσον ἐλέησον.

Καὶ νῦν. Θεοτοκίον, προεόρτιον.

Ἐδὲμ εὐτρεπίσθητι,
ἡ Ἐφραθᾶ γάρ,
τῷ Κτίστῃ ἡτοίμασται,
γεννηθῆναι μέλλοντι,
ἐκ τῆς Παρθένου Μητρός,
ἐν τῷ Σπηλαίῳ Βηθλεέμ,
δι᾽ εὐσπλαγχνίαν πολλήν.

Καταβασία· Χριστὸς γεννᾶται.

Ὠδὴ γ'. Λίθον, ὃν ἀπεδοκίμασαν.

Τρόπῳ θαυμαστῷ ἑώρακας,
ἔτι ὢν παιδίον,
πάτερ Ἰωάννη,
φύλακα ψυχῆς σου,
καὶ τούτῳ ὁμιλήσας
τὸ μέλλον προέγραψας,
ἀγγελικῆς σου βιοτῆς,
θεομακάριστε.

Ἄνωθεν τὴν χάριν εἴληφας,
τῆς εὐκολονοίας,
διὰ προσευχῆς σου,
Χριστὸν ἐκδυσωπήσας,
διὸ πᾶσαν γνῶσιν
ὀφλητικῶς ὑπέταξας,
εἰς δόξαν Πάτερ τοῦ Θεοῦ,
πηγῆς τῆς γνώσεως.

Νίκας κατ᾽ ἐχθρῶν ἐπήγαγες,

ἐκ νεότητός σου,
θείᾳ ἀναγνώσει τοῦ Εὐαγγελίου,
καὶ προσευχῇ συντόνῳ
ὡς Πάτερ μεμάθηκας,
ἐκ γεννητόρων εὐλαβῶν,
καὶ φοβουμένων Θεόν.

Δύναμιν Ἁγίου Πνεύματος,
καὶ Θεολογίας,
βάθη ἐννοήσας θεῖε Ἰωάννη,
τὴν γνῶσιν ἐπόθεις
προσώπου τοῦ Κτίσαντος,
πότε σε ὄψομαι Χριστέ,
λέγων καὶ ζήσομαι.

Δόξα. Τριαδικόν.

Μίαν προσκυνῶ θεότητα,
ὡς ἀρχὴν καὶ τέλος,
πάντων τε τῶν ὄντων καὶ τῶν γενησομένων,
Πατέρα ἀγέννητον,
Υἱὸν ἀχρόνως γεννητόν,
Πνεῦμα εὐθὲς ἐκπορευτόν,
ἐκ τοῦ Πατρὸς ἀληθῶς.

Καὶ νῦν, προεόρτιον.

Δεῦρο Ἠσαΐα βόησον·
ἰδοὺ ἡ Παρθένος,
ἔχει ἐν κοιλίᾳ τὸν Λυτρωτὴν τοῦ κόσμου,
καὶ τίκτει ἐν Σπηλαίῳ καὶ ἔσται τὸ ὄνομα,

τοῦ τικτομένου Ἰησοῦς,
Θεὸς μεθ᾽ ἡμῶν,
Ἐμμανουὴλ Σαββαώθ.
Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.
Ἐνταῦθα ἀναγινώσκονται Κοντάκιον καὶ Οἶκος προεόρτια.

Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἡμιλλήθης ἁγίοις ἱερουργοῖς,
ἐν τῷ κόσμῳ βιώσας ἀγγελικῶς,
καὶ ὅλον σου νόημα,
ἄνω ἔχων μακάριε,
εἰς Σιὼν τὴν θείαν,
ἐδίδως τοῖς πέλουσι,
θησαυροὺς σοφίας καὶ λόγους τῆς χάριτος.
Ὅθεν Ἰωάννη, τῆς Ῥωσσίας τὸ κλέος,
πιστῶς ἐξαιτούμεθα,
πρεσβειῶν μεσιτείαν σου,
πρὸς δεσπότην Φιλάνθρωπον,
τηρεῖν ἀειφλεγῆ ἐν ἡμῖν,
τῆς ἀγάπης τῆς θείας ἐκπύρωσιν,
ὅπως σχῶμεν μερίδα ζωῆς καὶ θεώσεως.

Δόξα. Καὶ νῦν, τὸ ἐν τῷ μηναίῳ προεόρτιον.

Ὠδὴ δ'. Ἐν Πνεύματι προβλέπων.

Ἡ Χάρις ἔδειξέ σοι Ἀνδρέου τοῦ σεπτοῦ,
τὸν ναὸν τὸν ἅγιον,
ὑπνώττοντί σοι δίς·
διὸ προθύμως ἐδέξω διακονίαν,

ὡς τοῦ Κυρίου καλέσαντός σε Πάτερ,
Ὃν ἐν Κροστάνδῃ ἐδόξασας.

Συζύγου μακαρίας τὸ σύμφωνον εὑρών,
παρθενίαν ἤσκησας ὦ Πάτερ θαυμαστῶς·
ὅθεν ὀρέξεις σαρκὸς καταδαμάσας,
ἐν ἀπαθείᾳ τὸν βίον σου διῆλθες,
ἐξ οὗ Χριστός σε ἐδόξασε.

Θαυμάζων τὸ ὕψος θυσίας τοῦ Χριστοῦ,
σεαυτὸν ὑπέταξας καρδίᾳ καὶ ψυχῇ,
καὶ ἀπορῶν πῶς ὁ Θεὸς ἐν ἀνθρώποις,
ὅλος ἐξίστασο καὶ Τοῦτον ἀγαπῆσαι,
ἐξεζήτεις πάσῃ δυνάμει σου.

Ἐλάχιστοι οἱ ὄντες ἐργάται προσευχῆς,
ἐν ἑκάστῃ Ἅγιε ἀνθρώπων γενεᾷ·
σὺ δὲ δεξάμενος χάρισμα εὐχέτου,
ὑπὲρ τοῦ κόσμου Χριστὸν ἐξεδυσώπεις,
πέμπειν εὐμενῶς τὴν χάριν ἅπασι.

Δόξα. Τριαδικόν.

Τριάδα ἐν μονάδι δοξάσωμεν πιστοί,
ἀσιγήτοις στόμασι βοῶντες πρὸς Αὐτήν·
ἡ ἐν μονάδι Τριὰς ἁγία προσκυνουμένη,
καὶ ἐν Τριάδι ὑμνουμένη ἀσυγχύτως,
δόξα σοι Τριὰς ὁμοούσιε.

Καὶ νῦν. Προεόρτιον.

Σπηλαίῳ ὑπογαίῳ τεχθῆναι δι᾽ ἡμᾶς,
Θεὸς ὢν ἠξίωσας πτωχεύσας ἀγαθέ,
τὴν ἡμετέραν πτωχείαν δι᾽ εὐσπλαγχνίαν,
καὶ ἐκ Παρθένου προελθὼν σεσαρκωμένος,
μείνας εἷς Υἱός, ἐκ Πατρὸς καὶ Μητρός.
Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ὁ νοῦς σου ὅλος γέγονεν ὁρῶν τὸν Θεόν,
τῇ ἀπαύστῳ κλήσει Χριστοῦ παμμακάριστε,
καὶ νήφων πάντων ἐκαθάρευε,
τῶν κοσμικῶν λογισμῶν,
καὶ φθειρομένων Πάτερ.

Φωτοειδὴς κατέστης Πάτερ λειτουργὸς Θεοῦ,
καθ᾽ ἡμέραν θύων θυσίαν τὴν ἄμωμον,
δι᾽ ἧς ἐνεδυναμοῦσο καὶ πνέων πῦρ,
πυρίπνους ἀνθρώπους μετεσκεύαζες.

Ἰδὼν ποιμνίου σου κατάστασιν μακάριε,
ὅλος ἠλλοιώθης τοῖς τρόποις καὶ σκέψεσι,
σκοπῶν Θεοῦ εὐαρέστησιν,
δι᾽ ὃ νοῦν Χριστοῦ ἤπερ τοῦ κόσμου προσείληφας.

Λαὸν ὥσπερ πλανώμενα εὑρὼν Πάτερ πρόβατα,
τὴν ψυχὴν ἐπλήγης ἐκ τῆς φιλανθρωπίας,
καὶ τῇ παννύχῳ μερίμνῃ σου,
πάλιν εἰσήγαγες εἰς μάνδραν,
ἐκτρέφων μυστηρίοις.

Δόξα. Τριαδικόν.

Τριάδος τὸ ὁμότιμον ὑμνῶ καὶ προσκυνῶ,
μίαν προσφυῶς δοξάζων θεότητα,
τρισὶ προσώποις ἀδιαίρετον,
καὶ ἐν μιᾷ οὐσίᾳ,
ἀεὶ γνωριζόμενον.

Καὶ νῦν, προεόρτιον.

Θεὸς ἀνθρώπος ὅμοιος γενόμενος ἐκ σοῦ,
βρέφος δι᾽ ἡμᾶς γεννᾶται Θεόνυμφε,
καὶ μένει ὅλος ἀναλλοίωτος,
καὶ ἐν σαρκὶ ὁρᾶται,
Θεὸς ἐνανθρωπήσας.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

ᾨδὴ στ΄. Τὸν προφήτην ᾽Ιωνᾶν.

῾Η ἀριστερά σου χείρ,
οὐκ ἐγνώρισε ποτέ,
ἔργον τὸ τῆς δεξιᾶς,
᾽Ιωάννη θαυμαστέ,
σὺ γὰρ ἀεὶ κρυφίως Πάτερ,
ἐνήργεις ἄριστα.
Τὴν παρθενικὴν ζωήν,
ἀγαπήσας ἐκ ψυχῆς,
πλήθη Πάτερ μοναστῶν,
τῇ σοφῇ σου διδαχῇ,
παρήγαγες,

ἐξ ὧν εἷς πέλει,
Σιλουανὸς ὁ κλεινός.

Ὁλοτρόπως τῷ Θεῷ,
ἀναθεὶς τὰ σεαυτοῦ,
Βασιλείαν ἐκζητῶν,
τὴν οὐράνιον ἐν γῇ,
ἀπήλλαξαι,
πάσης μερίμνης,
πλουτῶν τῷ πνεύματι.

Ναοὺς θείους καὶ σεπτούς,
τοὺς πιστοὺς μεταβαλών,
ἐνεφύτευσας ψυχαῖς,
θείαν μνήμην πατρικῶς,
μακάριε,
καὶ τὴν ἀγάπην,
ὡς θέλει Κύριος.

Δόξα, Τριαδικόν.

Ὑπερούσιε Τριάς,
ὑπεράγαθε Μονάς,
ὁ Πατὴρ καὶ ὁ Υἱός,
καὶ τὸ Πνεῦμα τὸ εὐθές,
ἐλέησον,
τοὺς προσκυνοῦντας,
τὸ θεῖον κράτος σου.

Καὶ νῦν, προεόρτιον.

Εὐτρεπίζου Βηθλεέμ,
ἑτοιμάζου Ἐφραθᾶ,
ὁ ἀμήτωρ ἐκ Πατρός,
καὶ ἀπάτωρ ἐκ Μητρός,
βαστάζεται,
κυοφορεῖται,
τίκτεται σῴζων ἡμᾶς.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον.
Ἦχος πλ.δ'. Τῇ Ὑπερμάχῳ.

Ναματουχίαις ζωηραῖς καταρδευόμενος,
τὴν Ἐκκλησίαν Ἰωάννη κατεδρόσισας,
ὥσπερ ἄγγελος ἐνσώματος βιοτεύσας·
ἐν Χριστῷ δὲ ὁδηγῶν τοὺς προσιόντάς σοι,
ἐνεργείαις τῶν θαυμάτων καὶ τοῖς λόγοις σου,
κράζειν ἔπειθες· Χαίροις Πάτερ τρισόλβιε.

**Ὁ Οἶκος**

Ἄγγελος ἀνεφάνης,
ἐν Κροστάνδῃ τρισμάκαρ,
κηρύττων τὴν ὁδὸν τοῦ Κυρίου·
καὶ λαμπρῶς τιμήσας τὴν τῆς Λειτουργίας σου φαιδρὰν
ἀμπεχόνην, ἀκούεις παρὰ τῶν πιστῶν,
προσφωνήματα τοιαῦτα:
Χαῖρε, τῆς πτωχῆς Σούρας βλάστημα ἄριστον,
χαῖρε, ἁγίας Ρωσίας ἐγκαύχημα μέγιστον.

Χαῖρε, ἐκλεξάμενος ἐκ παιδὸς τὴν εὐσέβειαν,
χαῖρε, ἀγαπήσας ζωηρῶς προσευχῆς τὴν ἐνέργειαν.
Χαῖρε, ὁ συζυγίαν καὶ ἁγνείαν συζεύξας,
χαῖρε, θεολογίαν καὶ ἱερωσύνην τιμήσας.
Χαῖρε, φιλανθρωπίας Σαμαρείτης ὁ καλὸς,
χαῖρε, ἐλεημοσύνης πλουτορέων ποταμός.
Χαῖρε, λειτουργὲ Μυστηρίων πυρίφλεκτε,
χαῖρε, ἀρετουργὲ ἐν Χριστῷ ἀνυπέρβλητε.
Χαῖρε, θαυματουργίαις τὴν πατρίδα σου πλήσας,
χαῖρε, τὴν Ἐκκλησίαν θείοις λόγοις δροσίσας,
Χαίροις Πάτερ τρισόλβιε.

*Τὸ Συναξάριον τοῦ Μηναίου καὶ εἶτα τὸ παρόν·*

**Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, τοῦ θαυματουργοῦ, πρωθιερέως τῆς ἐν Ῥωσίᾳ Κροστάνδης.**

Στίχοι
*Χριστῷ συναφθεὶς ὅλος ἐξ ὅλου, Πάτερ
Μέγας χριστουργὸς, Ἰωάννη, ἐδείχθης.
Εἰκοστῇ ποιμὴν Κροστάνδης γῆθεν ἤρθη.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠδὴ ζ'. Τῶν ἐν καμίνῳ παίδων σου.

Ὑπερφυῶς ἠγάπησας λατρείαν ἄμωμον,
ὅθεν καθ᾽ ἡμέραν παρεστώς,
βήματι ἁγίῳ,

ἀγγελικῶς προσέφερες θυσίαν,
ἐξ ἧς δυναμούμενος,
καὶ φωτὶ πληρούμενος,
ὡς ὁ Μωϋσῆς πιστοὺς ἐφώτιζες.
Μὴ ἐμπλεκόμενος τοῖς βίου πράγμασι,
ἅπαν σου τὸ φρόνημα πρὸς τὸν Χριστόν,
κατηύθυνες Ἅγιε,
καὶ εὐχῇ γλυκαίνων σου καρδίαν,
ὅλος γλυκασμὸς καὶ παράκλησις,
ἐφάνης τῷ λαῷ μακαριώτατε.

Νικητικῶς εἰσήλασας ὡς πύκτης ἄριστος,
κατὰ ἐχθροῦ ἐπιβουλῶν,
ἐξ οὗ ἀφήρπασας ποικιλοτρόποις μεθοδείαις,
ψυχὰς ἐνεργουμένας αὐτῷ,
καὶ ἐκαίνισας φαιδρῶς εἰς τέκνα χάριτος,
ποιμὴν θεόσοφε.

Ὡραιοτάτην Νύμφην τοῦ Χριστοῦ ἠγάπησας,
Ἐκκλησίαν Πάτερ ἐκ ψυχῆς,
ὅθεν νυμφοστόλος ἐδείχθης κοσμήσας ἀρεταῖς,
οὐ μόνον σαὐτόν,
ἀλλὰ πάντας σοι πελάζοντας,
εἰς Θεοῦ δόξαν καὶ αἴνεσιν.

Δόξα. Τριαδικόν.

Τριαδικὴν προσάξωμεν ᾠδὴν δοξάζοντες,
ἄναρχον Πατέρα καὶ Υἱόν,
Πνεῦμα εὐθές,
μοναδικὴν μίαν οὐσίαν,

ἣν τρισσῶς ὑμνήσωμεν·
Ἅγιος, Ἅγιος, Ἅγιος κράζοντες,
ὁ τῶν Πατέρων Θεός.
Καὶ νῦν, προεόρτιον.

Ὁ τοῖς προφήταις πάλαι προῤῥηθείς,
ἐγγίζει μοι βρέφος ἐκ Παρθένου κυηθείς·
χαίρει Ἀδὰμ καὶ ἡ προμήτωρ Εὔα,
τῶν ὠδίνων λέλυται,
καὶ συγχορεύει Δαβίδ,
ὁ τῆς Παρθένου Πατήρ.

Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.

Ὠδὴ η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Πιστεύσατε ἔλεγες,
Χριστῷ τῷ Λυτρωτῇ,
καὶ πάντες ἑνώθητε τῷ Σώματι Αὐτοῦ,
ἀγάπῃ τῇ ἀληθεῖ,
ὡς Τριὰς ἡ πάντιμος,
Ἧς εἰκὼν ὑπάρχει,
ἡ θεία Ἐκκλησία.

Οὐράνιος ἄνθρωπος,
ἀσκήσει ἀρετῶν,
κανὼν ἀκριβέστατος ζωῆς τῆς ἐν Χριστῷ,
ἐφάνης τρισόλβιε καὶ νοῦς λειτουργικός,
ἄγγελος ἐν πᾶσι,
παμμάκαρ Ἰωάννη.

Ἰδού σου τὰ δράγματα,
ποιμὴν ἀληθινέπ
εἰς πᾶσαν ἐκκέχυται τὴν γῆν χριστοφθογγή,
δι᾽ ἧς ἐθεούργησας ἀχρείους μὲν πρότερον,
Πνεύματι Ἁγίῳ,
θεόφρον Ἰωάννη.

Μεγάλη ἡ δόξα σου,
ἣν εἴληφας Χριστῷ,
Οὗ θείαν ταπείνωσιν,
ἐξήσκησας ἁπλῶς,
εἰ καὶ τὸ δοξάριον πάντοθέν σοι ἐνήδρευεν,
ὅμως Ἰωάννη,
οὐδόλως ἥψατό σου.

Εὐλογοῦμεν Πατέρα, Υἱόν....

Μονὰς οὐσιότητι,
ὑμνείσθω ἡ Τριάς,
Τριὰς ὑποστάσεσι,
τιμάσθω ἡ Μονάς,
ὡς μία τῇ φύσει,
τοῖς προσώποις δὲ τρεῖς,
οὐ διαιρουμένη,
οὐ συναλειφομένη.

Καὶ νῦν. Προεόρτιον.

Τὸ ἄστρον ἀνέτειλε Χριστὸς ἐξ Ἰακώβ,
καὶ μάγοι συντρέχουσιν ἐν πόλει Βηθλεέμ,
ὑμνῆσαι τιμῆσαι προσκυνῆσαι Αὐτῷ,

τεχθέντι ἐκ μήτρας, ἁγνῆς τῆς Θεοτόκου.

Καταβασία. Θαύματος ὑπερφυοῦς.
Ὠδὴ θ΄. Τὴν ζωοδόχον πηγήν.

Εὐχαριστοῦμέν σοι Πάτερ φιλάνθρωπε,
ὅτι φωστῆρα ἡμῖν μέγαν δέδωκας,
καὶ ποιμένα ἄριστον,
ἐκμαγεῖον πάγκαλλον,
τῶν ἀρετῶν σου τὸν θεῖον ᾿Ιωάννην,
οὗ μελετῶντες τὸν βίον αἰνοῦμέν σε.

Ναοποιεῖ θαυμαστῶς ὁ Παράκλητος,
τοὺς ἐκζητοῦντας Θεοῦ εὐαρέστησιν,
καὶ λαμπροὺς καθίστησιν,
οἴκους τῆς Τριάδος,
ὡς ᾿Ιωάννην ποιμένα Κροστάνδης,
ὃν ἐν σημείοις ἀνέδειξε μέγιστον.

῎Ανω τὸν νοῦν ἔχων Πάτερ τρισόλβιε,
τῶν γεηρῶν ὡς σοφὸς κατεφρόνησας,
Βασιλείαν ἄφθαρτον,
ὁραματιζόμενος,
ἁγιασμόν τε διώκων καθ᾿ ἑκάστην,
καὶ ὁδηγῶν πιστοὺς εἰς μετάνοιαν.

῎Αλλου σε κόσμου πολίτην γνωρίζομεν,
ἐν ᾧ Χριστοῦ ἡ ζωὴ πολιτεύεται,
᾿Ιωάννη ἅγιε,
τῆς Κροστάνδης καύχημα,
τῶν ἱερέων τὸ κλέος καὶ ἡ δόξα,

διὸ αἰτοῦμεν ἡμῶν ἀεὶ μνήσθητι.

Δόξα.
Τὸ ὑπεράρχιον Φῶς ἡ ζωὴ ἡμῶν,
Πατὴρ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον,
τρισὶν ὑποστάσεσι καὶ μιᾷ θεότητι,
ὑπερουσίως ἀεὶ θεολογείσθω,
Τριὰς ἁπλῆ συμφυὴς καὶ ὁμότιμος.

Καὶ νῦν, προεόρτιον.

Χαῖρε Ἁγνὴ τοῦ Θεοῦ πόλις ἔμψυχε,
ἐν ᾗ Αὐτὸς χωρηθῆναι ηὐδόκησε,
μὴ λιπὼν τὰ ἄνω γάρ,
πρὸς σὲ καταβέβηκεν,
ὡς ὑετὸς ἐπὶ γῆς Θεογεννῆτορ,
καὶ ἐν τῇ πόλει Βηθλεὲμ βρέφος τίκτεται.

Καταβασία. Μεγάλυνον. Μυστήριον ξένον.

Ἐξαποστειλάρια
Τὸ προεόρτιον, εἶτα τὸ τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός.

Δῶρον Θεοῦ σε πάντιμον,
γινώσκοντες Ἰωάννη,
τῶν ἱερέων πρότυπον,
καὶ πιστῶν ποδηγέτην,
δι᾽ οὗ Χριστὸν εὑρίσκομεν,
ἐγκύπτοντες τῷ σῷ βίῳ,
καὶ ταῖς σοφαῖς ὑποθήκαις.

*Καὶ τὸ ἕτερον προεόρτιον.*
Εἰς τοὺς Αἴνους ψάλλομεν μόνον τὰ Προεόρτια στιχηρὰ τοῦ Μηναίου.
Εἰς τὰ ᾿Απόστιχα. Δόξα. ῏Ηχος πλ.β'.

Τοὺς ἀστροκινήτους Μάγους προλαβοῦσα ἡ ᾿Εκκλησία
τῷ ἐν Σπηλαίῳ τεχθέντι βασιλεῖ Χριστῷ,
ὡς τιμαλφέστατον δῶρον,
προεορτίως προσάγει σε, ᾿Ιωάννη μακάριε.
Σὺ γὰρ πληρώσας τὰς Εὐαγγελίου ἐντολάς,
ἐτράνωσας τὴν φύσιν ἡμῶν,
ἀνακραθεὶς τῷ θείῳ Πνεύματι.
῞Οθεν οὐράνια καὶ ἐπίγεια σοὶ ὑποτέτακται,
ὡς περιβληθέντι τὴν τοῦ Νέου ᾿Αδὰμ ἀρχέγονον ὡραιομορφίαν.
Διὸ νῦν ἐν οὐρανοῖς, σὺν τοῖς ῾Αγίοις περιπολεύων,
μνήσθητι καὶ ἡμῶν, τὴν μνήμην σου πιστῶς τελούντων,
ποιμὴν Κροστάνδης χριστόνοε.

Καὶ νῦν, τὸ Προεόρτιον.

## Μεγαλυνάρια

Τῆς ἱερωσύνης λαμπρὰν στολήν,
πάτερ ᾿Ιωάννη, ἐξωράϊσας θαυμαστῶς,
Πνεύματος δυνάμει, ἀναδειχθεὶς ῾Ρωσσίας,
φωστὴρ αὐγάζων πάντας,
τῷ θείῳ βίῳ σου.

Τοῦ Καλοῦ Ποιμένος καλὸς ποιμήν,
μάκαρ ᾿Ιωάννη, γεγονὼς καὶ ἀγγελικῶς,

Τούτῳ καθ᾽ ἑκάστην, παρεστηκὼς ἐτρύφας,
τῆς ἀκηράτου δόξης, ἧς πάντες τύχοιμεν.

Χαίροις τῆς Ρωσσίας θεῖος βλαστός,
χαίροις τῆς Κροστάνδης, θεοπύρσευτος λειτουργός,
τῆς ᾽Ορθοδοξίας, κοινὸν διδασκαλεῖον,
ὢ πάτερ ᾽Ιωάννη, Χριστοῦ εἰκόνισμα.

Στίχοι

*Ὕμνησα, Πάτερ, σὸν βίον ἐκ καρδίας,*
*εἰ καὶ ὑπάρχω, ἀληθῶςπ τούτου ξένος.*

www.tezaurliturgic.ro